τὸ μῖσος.	l'odio.
τὸ ὄρος.	il monte.
ὁ ὑγιὴς *ad.*	il sano.
τὸ χρέος.	il debito.
ὁ μάντις.	il vate.
ἡ πόλις.	la città.
ἡ ὕβρις.	l'ingiuria.
τὸ σίνηπι.	la senapa.
ὁ βασιλεύς.	il re.
ὁ ἑρμηνεύς.	l'interpetre.
ἡ αἰδώς.	la verecondia.
ἡ ἠώς.	l'aurora.
ἡ μορμώ.	la larva.
τὸ γέρας.	il premio.
τὸ γῆρας.	la vecchiezza.
τὸ δέρας.	il coio.
τὸ κέρας.	il corno.
τὸ τέρας.	il portento.

VERBI.

ἀλύω.	errare.
ἀνύω.	perfezionare.
ἀρύω.	attingere.
βύω.	turare.
θύω.	sacrificare.
κυλίω.	voltare.
κωλύω.	impedire.
λύω.	sciogliere.
μύω.	chiudere.
τρύω.	tritare.
χρίω. (a)	ungere.
τύπτω.	battere.
βλάπτω.	nuocere.
βλέπω.	mirare.
γράφω.	scrivere.
κρύπτω.	nascondere.
λείβω.	far libamento
πέμπω.	spedire.
σέβω.	venerare.
στέφω.	coronare.
τρίβω.	tritare.
λέγω.	parlare.
ᾄδω.	cantare.
κλώθω.	filare.
κράζω *f.* ξω.	gridare.
πλάσσω *f.* σω.	formare.
φράζω *f.* σω.	dire.
ἀγγέλλω.	annunziare.
ἀμύνω.	aiutare.
θάλλω.	verdeggiare.

VERBI CONTRATTI.

ποιέω.	fare.
πωλέω.	vendere.
ἀγαπάω.	amare.
βοάω.	gridare.
νικάω.	vincere.
ἀρόω.	arare.

VERBI IN -μι.

τίθημι – έω.	porre.
ὄνημι – έω.	giovare.
ἵστημι – άω.	stabilire.
δίδωμι – όω.	dare.
ζώννυμι – ύω.	tingere.

(a) I giovani non coniugheranno i seguenti verbi baritoni, prima d'aver veduto i §§ 27, 28, 29, 30, 31, 32, 33, 34 e 35 dei Principj Grammaticali.

ὁ δάκτυλος. il dito.
ὁ δῆμος. il popolo.
τὸ δῶρον. il dono.
ὁ ἔλεος. la misericordia.
τὸ ἔργον. l'opera.
ὁ ἥλιος. il sole.
ὁ θυμὸς. l'animo.
ὁ ἵππος. il cavallo.
ὁ κακὸς *ad.* il cattivo.
ὁ καρπὸς. il frutto.
ὁ κίνδυνος. il pericolo.
ὁ κλῆρος. la sorte.
ὁ κόσμος. l'ordine.
ἡ κρύσταλλος. il ghiaccio.
ὁ καὶ ἡ λίθος. il sasso.
τὸ μέτρον. la misura.
ὁ μικρὸς *ad* il piccolo.
ὁ μόνος *ad.* il solo.
ὁ μῦθος. il racconto.
ὁ νεκρὸς. il morto.
ὁ νέος *ad.* il nuovo.
ὁ νόμος. la legge.
ἡ νόσος. la malattia.
ὁ ὅρος. lo scopo.
ὁ οὐρανὸς. il cielo.
ὁ σοφὸς *ad.* il sapiente.
ὁ στρατὸς. l'esercito.
ὁ τόπος. il luogo.
ὁ τράγος. il becco.
ὁ υἱὸς. il figlio.
τὸ φάρμακον. il farmaco.
ὁ φίλος. l'amico.
τὸ φύλλον. la foglia.

Declinazione IV..

ἡ ἅλως. l'aia.
ὁ λαγώς. la lepre.
ἡ γάλως. la cognata.
ὁ κάλως. la gomena.

Declinazione V.

τὸ αἷμα, ατος. il sangue.
τὸ ἄρμα, ατος. il cocchio.
τὸ γόνυ, υος. il ginocchio.
τὸ δάκρυ, υος. la lacrima.
τὸ κῶμα, ατος. il sonno.
τὸ μέλι, ιτος. il mêle.
τὸ ὄνομα, ατος. il nome.
τὸ σῆμα, ατος. il segno.
ἡ ακτίν, ῖνος. il raggio.
ὁ γέρων, οντος. il vecchio.
ὁ δαίμων, ονος. il genio.
ὁ Ἕλλην, ηνος. il Greco.
ἡ ῥίν, ινός. il naso.
ἡ φρήν, ενός. la mente.
ἡ νύξ, υκτὸς. la notte.
ἡ σάρξ, αρκος. la carne.
ὁ αἰθήρ, ἐρος. l'etere.
ἡ γαστήρ, έρος. il ventre.
τὸ ὕδωρ, δατος. l'acqua.
ὁ ὀδοὺς, όντος. il dente.

NOMI CONTRATTI.

τὸ αἶσχος. la turpitudine.
τὸ ἄλγος. il dolore.
τὸ ἀληθής. il vero.
τὸ ἄνθος. il fiore.
τὸ βάθος. la profondità.
τὸ ἦθος. il costume.
τὸ ἔτος. l'anno.
τὸ κέρδος. il guadagno.
τὸ ὖρος. l'autorità.

NOMI E VERBI PRIMITIVI

DA DECLINARSI E CONIUGARSI

SECONDO GLI ESEMPJ E REGOLE

DEI

PRINCIPJ GRAMMATICALI.

Declinazione I.

ὁ ᾅδης.	l'inferno.
ὁ ἀράχνης.	il ragno.
ὁ αὐθέντης.	il padrone di sè.
ὁ Βορέας.	Borea.
ὁ Ἑρμῆς.	Mercurio.
ὁ ἱκέτης *ad.*	il supplice.
ὁ ἴτης.	il temerario.
ὁ πάππας.	il babbo.
ὁ ταμίας.	il soprastante.

Declinazione II.

ἡ ἀγορά.	il fôro.
ἡ αἴθρα.	il cielo sereno.
ἡ αἰτία.	la causa.
ἡ ἀκή.	la punta.
ἡ ἀνάγκη.	la necessità.
ἡ ἀρετή.	la virtù.
ἡ ἀρχή.	il principio.
ἡ βουλή.	il consiglio.
ἡ γῆ.	la terra.
ἡ γλῶσσα.	la lingua.
ἡ δάφνη.	il lauro.
ἡ εἰρήνη.	la pace.
ἡ θάλασσα.	il mare.
ἡ καρδία.	il cuore.
ἡ κεφαλή.	la testa.
ἡ μέλισσα.	l'ape.
ἡ σκηνή.	la tenda.
ἡ στόα.	il portico.
ἡ σχολή.	l'ozio.
ἡ τέχνη.	l'arte.
ἡ τόλμα.	l'audacia.
ἡ φωνή.	la voce.
ἡ χολή.	la bile.
ἡ χρόα.	il colore.
ἡ ψυχή.	l'anima.
ἡ ὥρα.	il tempo.

Declinazione III.

ὁ ἀγαθός *ad.*	il buono.
ὁ ἅγιος *ad.*	il santo.
ὁ ἄλλος.	l'altro.
ὁ ἀνεμός.	il vento.
ὁ ἄνθρωπος.	l'uomo.
ὁ ἀριθμός.	il numero.
ὁ ἄρτος.	il pane.
ἡ βίβλος.	il libro.
ὁ βίος.	la vita.

τι, παρὰ τὰς πόδας τῶν Ἀποστόλων ἔθηκεν. — Εἶπε δὲ Πέτρος· Ἀνανία, διατὶ ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σε, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; — Οὐχὶ μένον, σοι ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τὶ ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. — Ἀκούων δὲ Ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξε. καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. — Ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν, καὶ ἐξενέγκαντες ἔθαψαν. — Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν. — Ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος. Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; Ἡ δὲ εἶπε. Ναὶ, τοσούτου. — Ὁ δὲ Πετρος εἶπε πρὸς αὐτήν. Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου, ἐπὶ τῇ θύρᾳ· καὶ ἐξοίσουσί σε. — Ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. — Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν Ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

Orazione a Maria Santissima.

ΥΠΟ ΤΟ ΦΡΟΥΡΙΟΝ ΣΟΥ ΚΑΤΑΦΕΥΓΟΜΕΝ, ΑΓΙΑ ΘΕΟΤΟΚΕ, ΤΑΣ ΗΜΩΝ ΔΕΗΣΕΙΣ ΜΗ ΥΠΕΡΟΡΑ ΕΝ ΑΝΑΓΚΑΙΣ ΗΜΩΝ, ΑΛΛ'ΑΠΟ ΠΑΝΤΩΝ ΚΙΝΔΥΝΩΝ ΗΜΩΝ ΡΥΣΑΙ ΗΜΑΣ ΑΕΙ, ΠΑΡΘΕΝΕ ΕΝΔΟΞΕ, ΚΑΙ ΕΥΛΟΓΗΤΗ.

Morte di Santo Stefano (Atti Apost. cap. 6, 7, 8).

Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. – Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ· – Καὶ οὐκ ἴσχυον ἀνθιστῆναι τῇ σοφίᾳ, καὶ τῷ Πνεύματι ᾧ ἐλάλει. – Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν. – Ὑπάρχων δὲ πλήρης Πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανόν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ. – Καὶ εἶπεν. Ἰδοὺ, θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ. – Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν. – Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν· καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου. – Καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον, καὶ λέγοντα· Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμα μου. – Θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ. Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη. – Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ.

Punizione d'Anania e di Saffira (Att. Ap. c. 5).

Ἀνήρ τις Ἀνανίας ὀνόματι, σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐτοῦ ἐπώλησε κτῆμα. – Καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ· καὶ ἐνέγκας μέρος

θεν, ἠκολουθησαν αὐτῃ, λέγοντες· Ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ. — Ἡ οὖν Μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, ἰδοῦσα αὐτὸν, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, λέγουσα αὐτῷ· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. — Ἰησοῦς οὖν, ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ Πνεύματι, καὶ ἐτάραξεν ἑαυτόν. — Καὶ εἶπε· Ποῦ τεθείκατε αὐτόν; Λέγουσιν αὐτῷ. Κύριε, ἔρχου καὶ ἴδε. — Ἐδάκρυσεν ὁ Ἰησοῦς. — Ἔλεγον οὖν οἱ Ἰουδαῖοι. Ἴδε πῶς ἐφίλει αὐτόν. — Τινὲς δὲ ἐξ αὐτῶν εἶπον. Οὐκ ἠδύνατο οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; — Ἰησοῦς οὖν πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον· Ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ' αὐτῷ. — Λέγει ὁ Ἰησοῦς· Ἄρατε τὸν λίθον. Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος Μάρθα Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι. — Λέγει αὐτῇ ὁ Ἰησοῦς· Οὐκ εἶπόν σοι, ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ; — Ἦραν οὖν τὸν λίθον οὗ ἦ ὁ τεθνηκὼς κείμενος. Ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε· Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. — Ἐγὼ δὲ ἤδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. — Καὶ ταῦτα εἰπὼν, φωνῇ μεγάλῃ ἐκραύγασε. Λάζαρε, δεῦρο ἔξω. — Καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις· καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. Λέγει αὐτοῖς ὁ Ἰησοῦς. Λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν. — Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν, καὶ θεασάμενοι ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν·

παρρησίᾳ· Λάζαρος ἀπεθανε. – Καὶ χαίρω δι ὑμᾶς (ἵνα πιστεύσητε), ὅτι ϰϰ ἤμην ἐϰεῖ· ἀλλ' ἄγωμεν πρὸς αὐτόν. – Εἶπεν οὖν Θωμᾶς, ὁ λεγόμενος Δίδυμος, τοῖς συμμαθηταῖς. Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ· – Ἐλθὼν οὖν ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. – (Ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων, ὡς ἀπὸ σταδίων δεϰαπέντε.). – Καὶ πολλοὶ ἐϰ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ τὴν Μάρθαν ϰαὶ Μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν. – Ἡ οὖν Μάρθα, ὡς ἤϰουσεν ὅτι ὁ Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ. Μαρία δὲ ἔν τῷ οἴϰῳ ἐϰαθέζετο. – Εἶπεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν· Κύριε, εἰ ἦς ὧδε, ὁ ἀδελφός μου ϰϰ ἂν ἐτεθνήϰει. – Ἀλλὰ ϰαὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν, δώσει σοι ὁ Θεός. – Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἀναστήσεται ὁ ἀδελφός σου. – Λέγει αὐτῷ ἡ Μάρθα· Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. – Εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμὶ ἡ ἀνάστασις ϰαὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμὲ, ϰἂν ἀποθάνῃ, ζήσεται. – Καὶ πᾶς ὁ ζῶν ϰαὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο; – Λέγει αὐτῷ· Ναὶ, Κύριε, ἐγώ πεπίστευϰα, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ εἰς τὸν ϰόσμον ἐρχόμενος. – Καὶ ταῦτα εἰποῦσα ἀπῆλθε, ϰαὶ ἐφώνησε Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα, εἰποῦσα· Ὁ διδάσϰαλος πάρεστι, ϰαὶ φωνεῖ σε. – Ἐϰείνη ὡς ἤϰουσεν, ἐγείρεται ταχὺ, ϰαὶ ἔρχεται πρὸς αὐτόν. – (Οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν ϰώμην· ἀλλ' ἦν ἐν τῷ τοπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα.) – Οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰϰίᾳ ϰαὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν Μαρίαν ὅτι ταχέως ἀνέστη ϰαὶ ἐξῆλ-

εἶ, καὶ παντα τὰ ἐμὰ, σά ἐστιν. — Εὐφρανθῆναι δὲ, καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σε ἦτος νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

Risuscitamento di Lazzaro (S. Giov., cap. 11.)

Ἦν δέ τίς ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. — (Ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ, καὶ ἐκμάξασα τὰς πόδας αὐτῶ ταῖς θριξὶν αὐτῆς· ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει). — Ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτον, λέγουσαι· Κύριε, ἴδε, ὃν φιλεῖς, ἀσθενεῖ. — Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν· Αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ δι' αὐτῆς. — Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν, καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν Λαζαρον. — Ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας. — Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς αὐτοῦ. Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. — Λέγουσιν αὐτῷ οἱ μαθηταί. Ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; — Ἀπεκρίθη ὁ Ἰησοῦς. Οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει· ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει. — Ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. — Ταῦτα εἶπε· καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν· — Εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ. Κύριε, εἰ κεκοίμηται, σωθήσεται. — Εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει. — Τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς

– Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου. – Καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. – Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν. – Εἶπε δὲ αὐτῷ ὁ υἱός. Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. – Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας. – Καὶ ἐνέγκαντες τὸν μοσχον τὸν σιτευτὸν, θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν. – Ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. Καὶ ἤρξαντο εὐφραίνεσθαι. – Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν. – Καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων ἐπυνθάνετο τί εἴη ταῦτα. – Ὁ δὲ εἶπεν αὐτῷ, ὅτι ὁ ἀδελφός σου ἥκει· καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. – Ὠργίσθη δὲ, καὶ οὐκ ἤθελεν εἰσελθεῖν. ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. – Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ Πατρί· Ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον· καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ. – Ὅτε δὲ ὁ υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν. – Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ

De Profundis.

Εκ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε, εἰσάκουσον τῆς φωνῆς μου. — Γενηθήτω τὰ ὦτά σου προσέχοντα, * εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. — Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, * Κύριε, τίς ὑποστήσεται; — Ὅτι παρά σοι ὁ ἱλασμός ἐστι, * καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε. — Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, * ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον. — Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, * ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. — Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, * καὶ πολλὴ παρ αὐτῷ λύτρωσις. — Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ, * ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Parabola del figliuol Prodigo (S. Luca, cap. 15).

Ἄνθρωπός τις εἶχε δύο υἱούς. — Καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρὶ· Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον. — Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως. — Δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. — Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. — Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ. — Εἰς ἑαυτὸν δὲ ἐλθὼν εἶπε· Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι!

μου ἐστὶ διαπαντός. – Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, * ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. – Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, * καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. – Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, * τὰ ἄδηλα, καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. – Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, * πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. – Ἀκουτιεῖς μοι ἀγαλλίασιν, καὶ εὐφροσύνην, * καὶ ἀγαλλιάσονταί ὀστᾶ τεταπεινωμένα. – Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, * καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. – Καρδίαν καθαρὰν κτισον ἐν ἐμοὶ ὁ Θεὸς, * καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. – Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, * καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. – Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με. – Διδάξω ἀνόμους τὰς ὁδούς σου, * καὶ οἱ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. – Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, * καὶ ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. – Κύριε, τὰ χείλη μου ἀνοίξεις, * καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. – Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, * ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. – Θυσία τῷ Θεῷ Πνεῦμα συντετριμμένον, * καρδίαν συντετριμμένην, καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσεις. – Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, * καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. – Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν, καὶ ὁλοκαυτώματα, * τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ παθαρίσει Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. – Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν. – Τίμα τὸν Πατέρα σου, καὶ τὴν Μητέρα σου. – Οὐ φονεύσεις. – Οὐ μοιχεύσεις. – Οὐ κλέψεις. – Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ. – Οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου. – Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε ὅσα τοῦ πλησίον σου ἐστί.

Confiteor.

Ἐξομολογοῦμαι Θεῷ παντοκράτορι, Ἁγίᾳ Μαρίᾳ Ἀειπαρθένῳ, Ἁγίῳ Μιχαὴλ Ἀρχαγγέλῳ, Ἁγίῳ Ἰωάννῃ Βαπτιστῇ, Ἁγίοις Ἀποστόλοις Πέτρῳ, καὶ Παύλῳ, καὶ πᾶσι τοῖς Ἁγίοις, ὅτι ἡμάρτηκα λίαν τῇ διανοίᾳ, λόγῳ, καὶ ἔργῳ, ἐμὸν ἔγκλημα, ἐμὸν ἔγκλημα, ἐμὸν ἔγκλημα μέγιστον. Διὸ δέομαι τῆς Ἁγίας Μαρίας Ἀειπαρθένου, Ἁγίου Μιχαὴλ Ἀρχαγγέλου, Ἁγίου Ἰωάννου Βαπτιστοῦ, Ἁγίων Ἀποστόλων Πέτρου, καὶ Παύλου, καὶ πάντων Ἁγίων, πρεσβεύειν ὑπὲρ ἐμοῦ πρὸς Κύριον Θεὸν ἡμῶν.

Miserere.

Ἐλέησον με ὁ Θεὸς, * κατὰ τὸ μέγα ἔλεός σου – Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, * ἐξάλειψον τὸ ἀνόμημά μου. – Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, * καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. – Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, * καὶ ἡ ἁμαρτία μου ἐνώπιόν

ΕΝ ΟΝΟΜΑΤΙ ΤΟΥ ΠΑΤΡΟΣ, ΚΑΙ ΤΟΥ ΥΙΟΥ, ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

Simbolo degli Apostoli.

Πιστεύω εἰς τὸν Θεὸν, Πατέρα παντοκράτορα, Ποιητὴν Οὐρανοῦ, καὶ Γῆς, – Καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ, ἕνα μόνον Κύριον ἡμῶν, – Συλληφθέντα ἐκ Πνεύματος Ἁγίου, γενηθέντα ἐκ Μαρίας τῆς Παρθένου, – Παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα, καὶ ταφέντα, – Κατελθόντα εἰς ᾅδην, τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν, – Ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς, καθεζόμενον ἐν δεξιᾷ Θεοῦ Πατρὸς τοῦ παντοκράτορος, – Ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας, καὶ νεκρούς. – Πιστεύω εἰς Πνεῦμα Ἅγιον, – Ἁγίαν Ἐκκλησίαν Καθολικὴν, – Ἁγίων κοινωνίαν, – Εἰς ἄφεσιν ἁμαρτιῶν, – Σαρκὸς ἀνάστασιν, – Καὶ ζωὴν αἰώνιον. Ἀμήν.

Orazione Domenicale.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν Οὐρανῷ, καὶ ἐπὶ τῆς Γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

ALFABETO GRECO.

FIGURA	NOME	CORRISP.	ITAL.
Α α	ἄλφα	alfa	a
Β β ϐ	βῆτα	beta	b
Γ γ ϝ	γάμμα	gamma	g
Δ δ	δέλτα	delta	d
Ε ε	ἐψιλὸν	epsilon	e *breve*
Ζ ζ ϛ	ζῆτα	zeta	z
Η η	ἦτα	eta	e *lunga*
Θ θ ϑ	θῆτα	teta	t *dolce*
Ι ι	ἰῶτα	iota	i
Κ κ	κάππα	kappa	c, k
Λ λ	λάμβδα	lambda	l
Μ μ	μῦ	my, mu	m
Ν ν	νῦ	ny, nu	n
Ξ ξ	ξῖ	xi	x
Ο ο	ὀμικρὸν	omicron	o *breve*
Π π ϖ	πῖ	pi	p
Ρ ρ ϱ	ῥῶ	ro	r
Σ σ ς	σῖγμα	sigma	s
Τ τ ϯ	ταῦ	tau	t *aspro*
Υ υ	ὑψιλὸν	ypsilon	y, u
Φ φ	φῖ	fi	f
Χ χ	χῖ	chi	ch
Ψ ψ	ψῖ	psi	ps
Ω ω	ὠμεγα	omega	o *lungo*

(*NB.*) Si pronunzian le lettere greche come le italiane corrispondenti. La γ avanti γ, κ, ξ, χ suona ν. I dittonghi αι, αυ, ει, ευ, οι, ου, si leggono *e*, *av*, *i*, *ev*, *i*, *u*. Ma αυ ed ευ avanti consonante si pronunziano meglio *au*, *eu*. Il *nesso* o abbreviatura usitatissima ϛ corrisponde a στ ed ȣ ad ου. — I Greci usano per interrogativo il segno (;): e invece di due punti e punto e virgola adoprano un punto alto (·). « Vedi i *Principj Grammaticali* di S. G. § 1. e 2. »

FOGLIO GRECO

PER

ESERCIZIO DI LETTURA

AD USO

DELLE SCUOLE PIE.

BIBLIOTECA NAZIONALE FIRENZE 1879



FIRENZE
TIPOGRAFIA CALASANZIANA
diretta da A. Baracchi
1864.

90.23

FOGLIO GRECO

PER

ESERCIZIO DI LETTURA.

BIBL. NAZIONALE
CENTRALE-FIRENZE
90
23